εὖτε τὰν πεπˈ[ρωμέναν
Ζηνὸc τελέ[ccαντοc κρί]cιν
Cά̣ρδιεc Περcᾶ̣[ν ἁλίcκοντο cτρ]ατῶι,
Κ̣ροῖcον ὁ χˈρυcά̣[οροc
Γ′ φύλαξ' Ἀπόλλων. [ὁ δ' ἐc ἄ]ελπτον ἆμαρ
μ[ο]λὼν πολυδ[άκˈρυον] οὐκ ἔμελλε
μίμνειν ἔτι δ[ουλοcύ]ν̣αν, πυ̣[ρ]ὰν δὲ
χαλ̣[κο]τειχέοc π̣[ροπάροι]θεν αὐ[λᾶc
ν̣αή̣[c]ατ', ἔνθα cὺ̣[ν ἀλόχωι] τε κεδˈ[νᾶι
cὺ[ν] εὐπλοκάμοι[c τ'] ἐπέβαιν' ἄλα̣[cτον
θ]υ̣[γ]α̣τˈράcι δυρομέναιc· χέραc δ' [ἐc
αἰ]πὺ̣ν αἰθέρα cφετέραc ἀείραc̣
γέγω]νεν· „ὑπέρ[βι]ε δαῖμον,
πο]ῦ θεῶν ἐcτιν χάριc;
πο]ῦ̣ δὲ Λατοίδαc ἄναξ;
ἔρρουc]ι̣ν Ἀλυά[τ]τ̣α̣ δόμοι
–∪–×–∪–×] μυρίων
–∪–×–∪–]ν.
Δ′ ×–∪∪∪×∪∪∪–∪] ἄcτυ,
φοινίccεται αἵματι χρυcο]δίναc
col 8 (4) Πακτωλόc, ἀεικελίωc γυναῖκεc